καὶ ἀσαφείας, σχεδόν τι ταῦτα. Ἰέναι δὲ δεῖν τούτοις ἀπεναντίον, τοὺς τὸ σαφὲς καὶ διηκριβωμένον τῶν νοημάτων διώκοντας, ἐννοῆσαι ῥᾴδιον.

§. ξζ'. Περὶ τῆς τῶν πρώτων ἐννοιῶν κατὰ τὸ ἀληθεύειν καὶ ψεύδεσθαι διαφορᾶς, καὶ πάλαι ἠπόρηται· Εἰ καὶ ταύταις ἑκάτερον ἐν τῷ μέρει παρασυμβαίνειν ὑποληπτέον, ἢ μηδέτερον, ἢ θάτερον, τὸ γοῦν ἀληθεύειν, ἀνεπιδέκτοις μόνου οὔσαις τοῦ ψεύδεσθαι; Τοῦ τοίνυν ἀληθοῦς καὶ τοῦ ψεύδους, τοῦ μὲν κατὰ τὸ σύμφωνον, τοῦ δὲ κατὰ τὸ διάφωνον ὡς εἴρηται (Προδι. Γ'. §. γ'.), ὅπερ ἐστὶν ἐν σχέσει τινὶ, τὸ εἶναι ἐχόντων (1), καθὸ τῇ κατ' αὐτὰς προσλήψει τὸ προσληπτὸν ἀεὶ σύμφωνόν ἐστι, ταύτῃγε αἱ ἔννοιαι ἀείπως ἀληθεύουσαι εἰσί. Μαρτυρεῖ δὲ ἡ ὀπαδὸς ἑκάστῃ ἐνδοτάτη συνείδησις, δι' ἧς καὶ ἐπὶ τῶν πλασματωδῶν αὐτῶν ἰδεῶν, οὐδὲν ἕτερον ἕκαστος ἑαυτὸν οἶδε νοοῦντα, παρ' αὐτὸ τὸ νοούμενον. Ἀλλὰ γὰρ καταχρηστικωτέρα τις ἂν εἴη ἡ τοιαύτη ἀλήθεια, ὥσπερ δὴ καὶ ἡ κατὰ τὴν συμφωνίαν σχέσις ἐφ' ᾗ κρηπίζεται· σχέσις γὰρ τοῦ αὐτοῦ πρὸς ἑαυτὸ κατὰ τὸ αὐτὸ, ὁποία τις κυρίως ἂν γένοιτο; Καὶ δέον ἄρα τὰς ἐννοίας πρὸς τὰ παρ' ἑαυτὰς ἐξετάζειν, καὶ ὅπως πρὸς αὐτὰ ἀληθείας ἢ ψεύδους ἔχουσι φιλοκρινεῖν. Παραβάλλοιντο δ' ἂν οὕτως αἱ παρ' ἡμῖν ἔννοιαι, πρῶτον μὲν ταῖς περὶ τῶν αὐτῶν παρὰ τοῖς ἄλλοις ἀνθρώποις. Β'. ταῖς φωναῖς, ἢ τοῖς γράμμασιν, ἢ τοῖς νεύμασιν, ἢ τοῖς ἄλλοις οἱοισδηποτοῦν σημείοις, οἷσπερ διασημαίνονται. Γ'. αὐταῖς ταῖς τῶν ὄντων φύσεσι. Κατὰ ταῦτα τοίνυν τῆς παραθέσεως γινομένης, εἴτις τὸ ὑπὸ ἑτέρου νοητὸν συμβάλλειν οἷον ἐστὶ, διατείνοιτο (οἷον τὴν ἐγκόσμιον ψυχὴν τὴν κατὰ Πλάτωνα, τὴν ἐντελέχειαν τὴν κατ' Ἀριστοτέλην,) ἐὰν μὲν σύμφωνον τῇ κατ' ἐκείνους φέρῃ, ἀληθεύουσαν ἕξει τὴν ἔννοιαν, ψευδομένην δὲ, εἴπερ διάφωνον. Καὶ πάλιν τοιαῦτα ἐννοῶν, οἷάπερ ἐκδηλοῦν τὰ ὀνόματα, ἢ τὰ γράμματα, ἢ τὰ τεθέντα ἄλλα σημεῖα νενόμισται, ἀληθεύσει τὰς ἐννοίας, ἕτερα δὲ παρὰ τὴν τῶν σημείων δύναμιν ἀναπλάττων, οἷον εἰ σφαιροειδοῦς σχήματος λεγομένου, αὐτὸς σφαῖραν ἰνδάλλοιτο

τὸ

(1) „Ἐν σχέσει τινὶ τῶν νοημάτων, „ἢ τῶν φωνῶν τῇ πρὸς τὰ πράγματα, „τὸ τοιοῦτον ἀληθὲς ἀποτελεῖται καὶ „τὸ ψεῦδος. (Ἀμμών εἰς τὸ περὶ Ἑρμην.)



τὸ σημαινόμενον, ψεύσεται. Καὶ τρίτον ἀπαραλλάκτους τοῖς ἐν τοῖς οὖσιν ἀρχετύποις κατὰ τὸ γνωστικὸν τὰς τῶν ἐννοιῶν φέρων εἰκόνας, ἀληθεῖς εἰρήσεται τὰς ἐννοίας ἔχειν· εἰ δὲ παρηλλαγμένας, ψευδεῖς· οἷον εἰ κοῦφον, καὶ μὴ ἐλαστικὸν ἐννοεῖ τὸν ἀέρα, παρ' ὃ φύσει πέφυκεν. Ἀλλ' ἐπὶ τούτων ἁπάντων ῥᾴδιον συνιδεῖν, ὅτι κρίσις τις ἐμφιλοχωρεῖ ταῖς ἐννοίαις ὑπολανθάνουσα διὰ τὴν γινομένην παράθεσιν. Διὸ καὶ τῇ δυνάμει τῆς τοιᾶσδε κρίσεως τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ἐκείναις παροπηδεῖ. Ἁπλῆς δ' ἐννοίας καθ' ἑαυτὴν καὶ ἀσχέτως θεωρουμένης, ὥσπερ δὴ καταφάσεώς τε καὶ ἀποφάσεως (§. γ'.) οὔτοι καὶ ἀληθείας κυρίως εἰπεῖν, ἢ ψεύδους, ἡ φύσις ἐστὶν, ἀνεπίδεκτος (1).

# ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ.

## Διαφοραὶ ἄλλαι ἐννοιῶν, συγκεκριμένων καὶ Ἀφῃρημένων.

### §. ξη'.

Ὄντε παρὰ τῶν ἐκτὸς (§. κς'. κζ'.) διὰ τῶν αἰσθήσεων, καὶ ὧν παρ' ἑαυτοῖς τὸν νοῦν ἐφιστάνοντες (§. κα'.) φέρομεν ἀντιλήψεων, οὐδεμίαν ὀρθῶς ἄντις ἐπιστήσας εὑρήσει καθ' ἑαυτὴν ἰδιάζουσαν, καὶ μονήρη, οὕτω φάναι, καὶ ἀπρόσμικτον ταῖς λοιπαῖς, οὔτ' ἐν τοῖς οὖσιν αὐτοῖς τελοῦσαν εἰς ἅπερ ἀνάγεται, οὔτ' ἐν τῇ γνωστικῇ δυνάμει, καὶ τοῖς κατ' αὐτὴν ἐννοήμασιν, ἐπὶ πολὺ μένειν θέλουσαν. Ἐν ἀρχῇ μὲν γὰρ, κατὰ μίαν ἴσως ἡ ψυχὴ τὰς ἁπλουστέρας ἀπηνέγκατο τῶν ἐννοιῶν, ἥπερ ὑπὸ τῶν πραγμάτων ἔτυχε κινηθεῖσα, ἢ



παρ'

(1) Ὅρα Ἀριστ. περὶ τὸ τέλος τοῦ πρὸ τῶν Κατηγορ. Καὶ Κεφ. περὶ τῶν Ἀντιθέτ. Καὶ βιβλ. γ'. περὶ ψυχ. Κ. ς'. Καὶ εἰς τὸ περὶ Ἑρμην. Ἔνθα Ἀμμών. ἐν ὑπομν. „Ἡ μὲν οὖν ἀλήθεια καὶ τὸ ψεῦδος, ἐν οὐδενὶ τῶν ἁ„πλῶν θεωρηθήσεται. Περὶ μόνα δὲ „τὰ σύνθετα νοήματα, (νοητέον τὰς „κρίσεις) καὶ τὰς συνθέτους φωνὰς „(τουτέστι τὰς προτάσεις) θεωρηθήσε„ται. Ὅρα καὶ Νικηφ. Βλεμμ. Ἐπιτ. Λογ. Κεφ. κς'. Καὶ ἐν τοῖς Νεωτέροις Λώκιον περὶ τοῦ Νοῦ Βιβλ. Β'. Κεφ. λβ'.